ἠνυτόμαν τροφαῖς·
νῦν δ' ἀμφὶ Κωκυτόν τε κἀχερουσίους
ὄχθους ἔοικα θεσπιῳδήσειν τάχα.

*str.* 3. ΧΟ. τί τόδε τορὸν ἄγαν ἔπος ἐφημίσω;
νεογνὸς ἀνθρώπων μάθοι.
πέπληγμαι δ' ὑπὸ δήγματι φοινίῳ
δυσαλγεῖ τύχᾳ μινυρὰ θρεομένας,
θαύματ' ἐμοὶ κλύειν.

*antistr.* 7. ΚΑ. ἰὼ πόνοι πόνοι πόλεος ὀλομένας τὸ πᾶν.
ἰὼ πρόπυργοι θυσίαι πατρὸς
πολυκανεῖς βοτῶν ποιονόμων· ἄκος δ'
οὐδὲν ἐπήρκεσαν
τὸ μὴ πόλιν μὲν ὥσπερ οὖν ἔχει παθεῖν.
ἐγὼ δὲ θερμόνους τάχ' ἐμπέδῳ βαλῶ.

*antistr.* 3. ΧΟ. ἑπόμενα προτέροις τάδ' ἐφημίσω.
καί τίς σε κακοφρονῶν τίθη-
σι δαίμων ὑπερβαρὴς ἐμπίτνων
μελίζειν πάθη γοερὰ θανατοφόρα·
τέρμα δ' ἀμηχανῶ.

ΚΑ. καὶ μὴν ὁ χρησμὸς οὐκέτ' ἐκ καλυμμάτων
ἔσται δεδορκὼς νεογάμου νύμφης δίκην,
λαμπρὸς δ' ἔοικεν ἡλίου πρὸς ἀντολὰς
πνέων ἐσᾴξειν, ὥστε κύματος δίκην
κλύζειν πρὸς αὐγὰς τοῦδε πήματος πολὺ
μεῖζον· φρενώσω δ' οὐκέτ' ἐξ αἰνιγμάτων.
καὶ μαρτυρεῖτε συνδρόμως ἴχνος κακῶν
ῥινηλατούσῃ τῶν πάλαι πεπραγμένων.
τὴν γὰρ στέγην τήνδ' οὔποτ' ἐκλείπει χορὸς
ξύμφθογγος, οὐκ εὔφωνος· οὐ γὰρ εὖ λέγει.

1113. ἠνυτόμαν: ηὐξόμην.

---

1115. *ὄχθας* Casaubonus. 1118. *δ' ἅπερ* Franzius. 1119. *δυσαλγεῖ* Canterus: *δυσαγγεῖ* libri. *μινυρὰ* Blomfieldus: *μινυρὰ κακά* libri. 1120. *θαύματ'* Triclinius: *θραύματ'* *ab.* 1121. *πόλεωσ ὀλωμένασ* *ab* *πόλεοσ ὀλουμένασ* *c.* *ὀλομένας* Porsonus. 1125. *ἔχει* Stanleius: *ἔχειν* libri. 1128. *κακοφρονῶν* Schuetzius: *κακοφρονεῖν* libri. 1033. *νύμφας* *ab* *νύμφ*[s] *c.* 1135. *ἐσᾴξειν* Bothius: *ἐσήξειν* libri. 1136. *κλύζειν* Auratus: *κλύειν* libri. *ἀκτάς* Auratus. 1141. *σύμφογγος* vel *σύμφθογγος* *a* *ξύμφογγος* vel *ξύμφθογγος* *b* *ξύμφθογγος* *c.*